μεζούσης τῆς ΚΝ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέ-
τρου ἑαυτῇ. καὶ ὅλη ἡ ΒΚ ἀσύμμετρός ἐστι τῇ ἐκκει-
μένῃ ῥητῇ τῇ ΒΘ· ἀποτομὴ ἄρα τετάρτη ἐστὶν ἡ
ΝΒ. τὸ δὲ ὑπὸ ῥητῆς καὶ ἀποτομῆς τετάρτης περι-
εχόμενον ὀρθογώνιον ἄλογόν ἐστιν· καὶ ἡ δυναμένη
αὐτὸ ἄλογός ἐστι· καλεῖται δὲ ἐλάσσων· δύναται δὲ
τὸ ὑπὸ τῶν ΘΒΝ ἡ ΑΒ·
διὰ τὸ ἐπιζευγνυμένης τῆς ΑΘ ἰσο-
γώνιον γίνεσθαι
τὸ ΑΒΘ τρίγωνον
τῷ ΑΒΝ· καὶ εἶναι
ὡς τὴν ΘΒ πρὸς τὴν
ΒΑ· οὕτως τὴν ΑΒ
πρὸς τὴν ΒΝ· ἡ ἄρα
ΑΒ τοῦ πενταγώνου
πλευρὰ ἄλογός ἐστιν
ἡ καλουμένη ἐλάσσων· ὅπερ ἔδει δεῖξαι:~



ιβ' Ἐὰν εἰς κύκλον τρίγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ
τοῦ τριγώνου πλευρὰ δυνάμει τριπλασίων ἐστὶ τῆς
ἐκ τοῦ κέντρου τοῦ κύκλου· ἔστω κύκλος ὁ ΑΒΓ· καὶ
εἰς αὐτὸν τρίγωνον ἰσόπλευρον ἐγγεγράφθω τὸ ΑΒΓ·
λέγω ὅτι ἡ τοῦ ΑΒΓ τριγώνου μία πλευρὰ δυνάμει
τριπλασίων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τοῦ ΑΒΓ κύκλου·
εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Δ· καὶ ἐπιζευ-
χθεῖσα ἡ ΑΔ διήχθω ἐπὶ τὸ Ε· καὶ ἐπεζεύχθω ἡ ΒΕ· καὶ

ἐπεὶ ἰσόπλευρόν ἐστι τὸ ΑΒΓ τρίγωνον· ἡ ΒΕΓ ἄρα περι-
φέρεια τρίτον μέρος ἐστὶ τῆς τοῦ ΑΒΓ κύκλου περιφε-
ρείας· ἡ ἄρα ΒΕ περιφέρεια ἕκτον ἐστὶ μέρος τῆς
τοῦ κύκλου περιφερείας· ἑξαγώνου ἄρα ἐστὶν ἡ ΒΕ
εὐθεῖα· ἴση ἄρα ἐστὶν τῇ ἐκ τοῦ κέντρου τῇ ΔΕ· καὶ
ἐπεὶ διπλῆ ἐστιν ἡ ΑΕ τῆς ΔΕ· τετραπλάσιόν ἐστι τὸ
ἀπὸ τῆς ΑΕ τοῦ ἀπὸ τῆς ΕΔ· τουτέστι τοῦ ἀπὸ τῆς ΒΕ·
ἴσον δὲ τὸ ἀπὸ τῆς ΑΕ τοῖς ἀπὸ τῶν ΑΒ ΒΕ· τὰ ἄρα
ἀπὸ τῶν ΑΒ ΒΕ τετραπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΒΕ·
διελόντι ἄρα τὸ ἀπὸ τῆς
ΑΒ τριπλάσιόν ἐστι τοῦ ἀπὸ
τῆς ΒΕ· ἴση δὲ ἡ ΒΕ τῇ ΔΕ·
τὸ ἄρα ἀπὸ τῆς ΑΒ τρι-
πλάσιόν ἐστι τοῦ ἀπὸ τῆς
ΔΕ· ἡ ἄρα τοῦ τριγώνου
πλευρὰ δυνάμει τριπλα-
σία ἐστὶ τῆς ἐκ τοῦ κέν-
τρου τοῦ κύκλου· ὅπερ
ἔδει δεῖξαι:~



ιγ' Πυραμίδα συστήσασθαι καὶ σφαίρᾳ περιλαβεῖν τῇ δο-
θείσῃ· καὶ δεῖξαι ὅτι ἡ τῆς σφαίρας διάμετρος δυ-
νάμει ἡμιολία ἐστὶ τῆς πλευρᾶς τῆς πυραμίδος·
ἐκκείσθω ἡ τῆς δοθείσης σφαίρας διάμετρος ἡ ΑΒ·
καὶ τετμήσθω κατὰ τὸ Γ σημεῖον· ὥστε διπλασίαν εἶ-
ναι τὴν ΑΓ τῆς ΓΒ· καὶ γεγράφθω ἐπὶ τῆς ΑΒ ἡμι-
κύκλιον τὸ ΑΔΒ· καὶ ἤχθω ἀπὸ τοῦ Γ σημείου τῇ ΑΒ